δασκάλων φιλοσόφου τε καὶ τοῦ πρώτου τῶν γραμματικῶν ὅτι πλείστην καὶ μεγίστην τὴν ἐπιμέλειαν καταβλητέον, πεπεισμέν(ους), ὅτι τὰ περὶ τὴν ἄλλην τῆς Σχολῆς διοίκησιν ἁμαρτήματα οὐ τοσαύτην ἐπάγει τὴν βλάβην, ὅσην ἡ τῶν διδασκάλων ἀμαθία καὶ ἀμέλεια, ἢ ἀφροσύνη καὶ λοιπὴ κακοήθεια. Ὡς οὖν ἀρχῆς καλῆς οὔσης τῇ Σχολῇ τῆς τῶν διδασκάλων μαθήσεως καὶ φρονήσεως, καὶ τὰ μέγιστα, μᾶλλον δὲ τὸ πᾶν, συμβαλλομένης πρός τε τὴν ἐν λόγοις ἐπίδοσιν, καὶ πρὸς κατάρτισιν τῶν ἠθῶν τῶν μαθητῶν, προσήκει μὴ ἁπλῶν, μηδὲ πρὸς χάριν ἢ δόξαν ἀφορῶντας παραλαμβάνειν τοὺς διδασκάλους τούτους, ἀλλὰ καὶ μάλιστα ἐξετάζοντας, εἰ τῷ ὄντι εἰσὶν, οἷοι ἐπαγγέλλωνται, μηδὲ οἴεσθαι τοὺς περί τι εὐδοκιμοῦντας ἁπλῶς καὶ πρὸς πάντα ἐπιτηδείως ἔχειν μηδὲ (αἱρεῖσθαι) διδάσκαλον ἐπὶ τούτοις, ὧν τὴν ἕξιν πρὸς διδασκαλίαν οὐκ ἔχει. Οὐκ ἔστι γὰρ οὐκ ἔστι τὸν αὐτὸν πρὸς πάντα ἔχειν τὸ τέλειον. Τοιούτους οὖν οἰκείως ἔχοντας πρὸς τὸν σκοπὸν ἀποκαθίστασθαι δεῖ τόν τε φιλόσοφον καὶ τὸν πρῶτον τῶν γραμματικῶν ἐφ' ᾧ αὐτοὺς διδόναι λόγον τῆς τε ἐν μαθήμασιν ἐπιδόσεως τῶν μαθητῶν καὶ τῆς εὐταξίας ἁπάσης τῆς Σχολῆς. Καὶ ὁ μὲν φιλόσοφος τὰ πρῶτα ἐν τοῖς διδασκάλοις (φερέτω), ὅστις ἅ τε δὴ λίαν ἐπωφελοῦς καὶ ἐς τὰ μάλιστα συμφερούσης πρός τε γύμνασιν νοὸς καὶ εὕρεσιν τῆς ἀληθείας τῆς τῶν ἐπιστημονικῶν μαθημάτων, οἷον ἀριθμητικῆς, γεωμετρίας, γεωγραφίας, σφαιρικῶν, ἀστρονομ(ίας) καὶ τῶν λοιπῶν της φιλοσοφίας μαθημάτων, παραδόσεως, ἥτις μετὰ (τὴν εἰς τὰ) γραμματικὰ, ποιητικὰ καὶ ῥητορικὰ τελείωσιν δεῖ γίγνεσθαι, παραδιδόναι ταῦτα ὀφείλει μετὰ τῆς προσηκούσης ἀκριβείας τε καὶ ἐπιμελείας. Ὁ δὲ πρῶτος τῶν γραμματικῶν διδάσκαλος μηδόλως ὑποκείσθω τῷ φιλοσόφῳ τὰ πρὸς διδασκαλίαν τῶν γραμματικῶν. Ἐξ